γνῶθι τύχαν λόγισαί τ' ἄπορον κακὸν εἰς ὅπερ ἥκεις·
δεσπόταις ἁμιλλᾷ antistr.
Ἰλιὰς οὖσα κόρα Λακεδαίμονος ἐγγενέταισι.
λεῖπε δεξίμηλον
δόμον τᾶς ποντίας θεοῦ. τί σοι
καιρὸς ἀτυζομένᾳ δέμας αἰκέλιον καταλείβειν
δεσποτῶν ἀνάγκαις;
τὸ κρατοῦν δέ σ' ἔπεισι. τί μόχθον
οὐδὲν οὖσα μοχθεῖς;

ἀλλ' ἴθι λεῖπε θεᾶς Νηρῄδος ἀγλαὸν ἕδραν, stroph.
γνῶθι δ' οὖσ' ἐπὶ ξένας
δμωὶς ἐπ' ἀλλοτρίας πόλεως,
ἔνθ' οὐ φίλων τιν' εἰσορᾷς
σῶν, ὦ δυστυχεστάτα,
παντάλαινα νύμφα.

οἰκτροτάτα γὰρ ἔμοιγ' ἔμολες, γύναι Ἰλιάς, οἴκους
δεσποτῶν ἐμῶν· φόβῳ δ' antistr.
ἡσυχίαν ἄγομεν, τὸ δὲ σὸν
οἴκτῳ φέρουσα λανθάνω,
μὴ παῖς τᾶς Διὸς κόρας
[σοί] μ' εὖ φρονοῦσαν εἰδῇ
. . . . . . . . . . . .

---

126 τ' ἄπορον] scripsi, τὸ παρὸν libri 128 ἐγγενέταισι *AEb*, ἐγγενεταῖσι *B*, ἐκγενέταισι *P*, ἐκγενέτῃσι *L* 129 λίπε mut. in λεῖπε *E* 130 τὰς *AP* | ποντίου *L* | θεᾶς *LP* (ου superscr. *P*) | τί] Musgrave, τίς libri 131 αἰκέλιον] Barnes, ἀεικέλιον libri (ἀεικέλειον mut. in ἀεικέλιον *L*) | καταλείβειν] fort. κατατήκειν 132 δυσπότμοις ἐν ἄταις Jacobs | ἀνάγκῃ *B* αις super η scr. *b* 133 κράτος *AP*, γρ. τὸ κράτος superscr. *b* | σ' ἔπεισι] Hermann, σε πείσει libri, cfr. schol. καταλήψεται, ἀντὶ τοῦ· οἱ δεσπόται κατὰ σοῦ ἐλεύσονται 135 νηρηίδος *BE*, νηρῆιδος *A*, νηρῇδος *LP* | ἀγλαὸν *B*, η super ο scr. *b*, ἀγλαὴν *P* | ἕδραν] γρ. ἕδος in marg. *L* 136 ἐπὶ ξένας] ἀμήχανος C. Busche 137 δμὼς *B* ϊς superscr. et ς del. *b* 138 φίλον *L*, sed compendium ˋ (= ου) ex alio compendio correctum videtur 140 παντάλαινα] τάλαινα *P*, ὦ ante παντάλαινα add. *l* 142 δεσποτῶν ἐμῶν· φόβῳ δ'] Nauck, δεσποτῶν δ' ἐμῶν φόβῳ libri 143 ἁσυχίαν Dindorf | τὸ δὲ σὸν] fort. τὸ τεὸν δ' 144 λανθάνω] scripsi, τυγχάνω libri 145 τὰς *A* et mut. in τᾶς *EL* 146 σοὶ delevit Hartung | εἰδῇ] Musgrave, ἴδῃ libri, sed in *E* ante ι ras., fuisse videtur ει | post 146 lacunam statuit Musgrave, cfr. 154